ἐφεύρηται· περὶ οὗ τέως τοσαῦτα εἰρήσθω μοι:

ασιλεὺς δὲ μετὰ τὴν σύνοδον ἐν εὐφροσύναις διῆγεν· ἐπιτελέσ
ας δημοτελῆ τῆς εἰκοσαετηρίδος αὐτοῦ ἑορτήν, εὐθέως τε περὶ
τὸ ἀνορθοῦν τὰς ἐκκλησίας ἐσπούδαζεν· ἐποίει τε τοῦτο περὶ
τὰς ἄλλας πόλεις· καὶ ἐν τῇ αὐτοῦ ἐπωνύμῳ ἣν Βυζάντιον καλου-
μένην τὸ πρότερον ηὔξησε· τείχη μεγάλα περιβαλὼν καὶ διαφόροις
κοσμήσας οἰκοδομήμασιν· ἴσην τε τῇ βασιλευούσῃ Ῥώμῃ ἀποδείξας
Κωνσταντινούπολιν μετονομάσας, χρηματίζειν δευτέραν Ῥώμην,
νόμῳ ἐκύρωσεν· ὃς νόμος, ἐν λιθίνῃ γέγραπται στήλῃ· καὶ δημο-
σίᾳ ἐν τῷ καλουμένῳ στρατηγίῳ πλησίον τοῦ ἑαυτοῦ ἐφίππου ἀνδριάντος τέ-
θεικεν· ἐν δὲ ταύτῃ τῇ πόλει δύο μὲν οἰκοδομήσας ἐκκλησίας, μίαν ἐ-
πωνόμασεν Εἰρήνην· ἑτέραν δὲ τὴν τῶν ἀποστόλων ἐπώνυμον·
καὶ οὐ μόνον ὡς ἔφην ηὖξει τὰ χριστιανῶν, ἀλλὰ καὶ τὰ Ἑλλήνων
καθῄρει· τά τε γὰρ ἀγάλματα εἰς κόσμον τῇ Κωνσταντίνου πόλει προ-
έθηκε δημοσίᾳ· καὶ τοὺς Δελφικοὺς τρίποδας, ἐν τῷ ἱππο-
δρομίῳ δημοσίᾳ προὔθηκεν· ταῦτα μὲν οὖν δόξει περιττὰ
λέγεσθαι νῦν· ὁρᾶται γὰρ πρότερον ἢ ἀκούεται· τότε δὲ μάλιστα
μεγίστην ἐπίδοσιν ἔλαβε τὰ τοῦ χριστιανισμοῦ· καὶ γὰρ ἐν τοῖς
καιροῖς τοῦ βασιλέως Κωνσταντίνου, καὶ ἄλλα πλεῖστα ἡ τοῦ θεοῦ
ἐφύλαττε πρόνοια· οὕτως τῶν τοῦ βασιλέως ἐγκωμίων μετὰ
μεγαλοφώνου φράσεως ὁ Παμφίλου Εὐσέβιος μνήμην πεποίηται·
οὐκ ἄκαιρον δὲ ἡγοῦμαι καὶ ἡμᾶς, περὶ τῶν αὐτῶν ὡς οἷόν τε διὰ βραχέων
εἰπεῖν:

Ἡ τοῦ βασιλέως μήτηρ Ἑλένη· ἧς ἐπ' ὀνόματι τὴν ποτὲ κώμην Δρεπάνην
πόλιν ποιήσας ὁ βασιλεύς, Ἑλενούπολιν ἐπονομάσας, διὰ ὀνείρ-
ων χρηματισθεῖσα, εἰς τὰ Ἱεροσόλυμα παρεγένετο· καὶ τὴν ποτὲ Ἱε-
ρουσαλὴμ ἔρημον ὡς ὀπωροφυλάκιον κατὰ τὸν προφήτην εὑροῦσα,
τὸ τοῦ Χριστοῦ μνῆμα ἐν ᾧ ταφεὶς ἀνέστη, ἀπονυκαίως ἐξήτει· καὶ
δυσχερῶς μὲν· σὺν θεῷ δὲ εὑρίσκει· τίς δὲ ἡ αἰτία τῆς δυσχερεί-
ας διὰ βραχέων ἐρῶ· οἱ μὲν τὰ τοῦ Χριστοῦ φρονοῦντες, μετὰ τὸν καιρὸν
τοῦ πάθους ἐτίμων τὸ μνῆμα· οἱ δὲ φεύγοντες τὰ τοῦ Χριστοῦ, χώσαντες
τὸν τόπον, Ἀφροδίτης κατ' αὐτοῦ ναὸν κατασκευάσαντες ἐπέστη-